eul_wid: uqy-aa

*Πρόκλος ὁ Διάδοχος* · Proclus the Successor

# On Providence, Fate, and What is Within Us to Theodorus the Mechanic

*Περὶ προνοίας*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Neoplatonist

10 Σκόπει ... τὴν ἔννοιαν τοῦ εἴρεσθαι λαβὼν μὴ ἄλλο τι λέγουσαν ἢ τὸ τὰ κατὰ χρόνον ἄλλοτε γινόμενα ἀλλήλοις συνάπτεσθαι ..., κἂν τῷ τόπῳ δὲ ᾖ διεστῶτα, κατὰ χρόνον ἔχειν τινὰ πρὸς ἄλληλα σύνταξιν· ὥστ' ἢ τοῖς τόποις ἢ τοῖς χρόνοις αὐτὰ μεριζόμενα διὰ τοῦ εἱρμοῦ συνάγεσθαί πως εἰς ἓν καὶ μίαν συμπάθειαν· καὶ ὅλως τὰ εἰρόμενα μὴ δύνασθαι παρ' ἑαυτῶν τοῦτο πάσχειν, ἀλλ' ἑτέρου δεῖσθαι ... τὸν εἱρμόν. εἰ οὖν ὑπὸ εἱμαρμένην τεταγμένα ἐστίν, ὅσα ἀλλήλοις συμπλεκόμενα———, τὰ δὲ συμπλεκόμενα 〈καί ἐστι〉 μεριστά, διεστῶτα ἢ τόποις ἢ χρόνοις, καὶ ὑπ' ἄλλου συμπλέκεσθαι πέφυκεν———· ταῦτα δὲ ἑτεροκίνητά ἐστι καὶ σωματικά— τῶν γὰρ ἔξω σωμάτων τὰ μὲν καὶ τόπου ἐστὶ κρείττονα καὶ χρόνου, τὰ δὲ εἰ καὶ κατὰ χρόνον ἐνεργοίη, τόπου γε καθαρεύοντα φαίνεται· 〈δῆλον δὴ ὅτι〉 τὰ ὑπὸ τῆς εἱμαρμένης ... συμπλεκόμενα ἑτεροκίνητά ἐστι καὶ σωματοειδῆ· εἰ δὲ τοῦτο δέδεικται, φανερὸν ὅτι αἰτίαν τῆς συμπλοκῆς τὴν εἱμαρμένην——— ἔχομεν. ——— Καὶ ἐπιβλέψαντες πρῶτον εἰς ταῦτα τὰ ἡμέτερα σώματα, κατίδωμεν τί τὸ ταῦτα κινοῦν καὶ τὸ τρέφον καὶ ἀνυφαῖνον ἀεὶ καὶ διακρατοῦν· τοῦτο δὲ οὐχὶ τὸ φυτικόν ἐστιν; ὃ καὶ τοῖς ἄλλοις ζώοις παρέχεται τὴν ὁμοίαν χρείαν καὶ μέχρι τῶν ἐν γῇ κατερριζωμένων, διττὴν ἔχον ἐνέργειαν· τὴν μὲν ἀνανεάζουσαν τὸ ἀποσβεννύμενον τῶν σωμάτων, ἵνα μὴ παντάπασιν οἴχοιτο σκεδασθέντα· τὴν δὲ συνέχουσαν ἐν τῷ κατὰ φύσιν ἑκάστων. [10]

11 οὐ γὰρ ταὐτὸν τὸ προστιθέναι τὸ ἐλλεῖπον καὶ τὸ φυλάττειν τὴν τῶν συνεχομένων δύναμιν. εἰ οὖν μὴ μόνον ἐν ἡμῖν καὶ τοῖς ἄλλοις ζώοις καὶ φυτοῖς, ἀλλὰ καὶ ἐν τῷδε τῷ παντὶ κόσμῳ πρὸ τῶν σωμάτων ἐστὶν ἡ μία τοῦ κόσμου φύσις, συνεκτικὴ οὖσα τῆς τούτων συστάσεως καὶ κινητική———· ἀναγκαῖον τὴν φύσιν αἴτιον εἶναι τῶν συμπλεκομένων, καὶ ἐν ταύτῃ ζητεῖν τὴν 〈καλουμένην〉 εἱμαρμένην. 〈καὶ διὰ τοῦτο ... καὶ ὁ δαιμόνιος Ἀριστοτέλησ〉 τὰς παρὰ τὸν εἰωθότα χρόνον αὐξήσεις ἢ γεννήσεις 'παρειμαρμένην' εἴωθεν καλεῖν. ——— Τούτῳ τοίνυν 〈ηὕρηται, τίς ἡ εἱμαρμένη καὶ πῶσ〉 ἡ τοῦδε τοῦ κόσμου φύσις οὐσία τις οὖσα ἀσώματος, ὡς τῶν σωμάτων προστάτης, καὶ ζωή . [15]

12 ..., εἴπερ ἔνδοθεν κινεῖ ..., πάντα κατὰ χρόνον κινοῦσα καὶ συμπλέκουσα τὰς πάντων καὶ τῶν χρόνοις καὶ τῶν τόποις διεστώτων κινήσεις· καθ' ἣν καὶ τὰ θνητὰ συμπλέκεται τοῖς ἀϊδίοις καὶ ἐκείνοις συγκυκλεῖται, καὶ ταῦτα ἀλλήλοις συμπάσχει. καὶ γὰρ ἡ ἐν ἡμῖν φύσις συνδεῖ πάντα τὰ

τοῦ σώματος ἡμῶν μέρη, καὶ συμπλέκει τὰς αὐτῶν εἰς ἄλληλα ποιήσεις, καὶ εἱμαρμένη τίς ἐστι τοῦ ἡμετέρου σώματος αὕτη. καὶ ὥσπερ ἐν τούτῳ τὰ μὲν ὑπάρχει κυριώτερα μέρη, τὰ δὲ ἀκυρότερα, καὶ ἕπεται ταῦτα ἐκείνοις· οὕτω δήπου καὶ ἐν τῷ ὅλῳ κόσμῳ ἀκολουθοῦσιν αἱ τῶν ἀκυροτέρων γενέσεις ταῖς τῶν κυριωτέρων 〈κινήσεσιν, οἷον〉 ταῖς τῶν οὐρανίων περιόδοις αἱ τῶν ὑπὸ σελήνην γενέσεις· καὶ εἰκὼν ὁ τῇδε κύκλος ἐστὶ τοῦ ἐκεῖ. ——— ——— Ἔπειτα δὲ πᾶσιν ἐφεστῶσαν νοητοῖς τε καὶ αἰσθητοῖς ὑπερτέραν εἶναι τῆς εἱμαρμένης· καὶ τὰ μὲν ὑπὸ τὴν εἱμαρμένην ὄντα, καὶ ὑπὸ τὴν πρόνοιαν τελεῖν, τὸ μὲν συμπλέκεσθαι παρὰ τῆς εἱμαρμένης ἴσχοντα, τὸ δὲ ἀγαθύνεσθαι παρὰ τῆς προνοίας, ἵνα καὶ ἡ συμπλοκὴ τέλος ἔχῃ τὸ ἀγαθὸν καὶ τῆς εἱμαρμένης ἐφετὸν ᾖ ἡ πρόνοια· τὰ δὲ αὖ ὑπὸ τὴν πρόνοιαν οὐκέτι πάντα δεῖσθαι καὶ τῆς εἱμαρμένης, ἀλλ' ἐξῃρῆσθαι ταύτης τὰ νοητά· 〈ποῦ δὲ〉 ἐν τοῖς ἀσωμάτοις .

13 .., εἴπερ καὶ 〈τὸ εἴρεσθαι〉 καὶ χρόνον εἰσάγει καὶ σωματικὴν κίνησιν; 〈πρὸς ταῦτα δὴ καὶ ὁ Πλάτων, οἶμαι, βλέπων εἶπεν〉 μεμειγμένην μὲν τὴν τοῦδε τοῦ κόσμου σύστασιν ἐξ νοῦ τε καὶ ἀνάγκη ς , νοῦ δὲ ἀνάγκης ἄρχοντος [Tim. 48a 1—2], κινητικὴν τῶν σωμάτων αἰτίαν τὴν ἀνάγκην 〈καλῶν, ἣν καὶ ἐν ἄλλοις εἱμαρμένην προσηγόρευσεν .... καὶ τοῦτο ὀρθῶσ〉 · πᾶν γὰρ σῶμα ἠνάγκασται καὶ ποιεῖν ὅπερ ἂν ποιῇ καὶ πάσχειν ὅπερ ἂν πάσχῃ, θερμαίνειν ἢ θερμαίνεσθαι, ψύχειν ἢ ψύχεσθαι· 〈προαίρεσις δὲ ἐν αὐτοῖς οὐκ ἔστι〉 , διὸ καὶ σωμάτων ἴδιον ... τὸ ἀναγκαῖον καὶ ἀπροαίρετον, ———. καὶ γὰρ τὸ κύκλῳ κινούμενον, κυκλοφορικὸν ὄν, ἐξ ἀνάγκης οὕτω κινεῖται, καθάπερ τὸ πῦρ ἐπὶ τὸ πέριξ, ἡ δὲ γῆ πρὸς τὸ μέσον. 〈τὴν μὲν οὖν ἀνάγκην〉 σωμάτων γενέσεσιν ἐφέστηκεν 〈αὐτός, διὰ τοῦτο〉 καὶ φθοραῖς· νοῦν δὲ ἐξεῖλεν ταύτης, ἄρχειν τῆς ἀνάγκης διορίσας. 〈εἰ οὖν ἡ〉 πρόνοια καὶ ὑπὲρ νοῦν ἐστι, 〈δῆλον ὅτι〉 ἄρχει μὲν νοῦ τε καὶ τῶν ὑπὸ τὴν ἀνάγκην 〈αὕτη〉 , μόνων δὲ τῶν ὑπ' αὐτὴν ἡ ἀνάγκη. καὶ διὰ ταῦτα πᾶν μὲν τὸ νοερῶς ὂν ὑπὸ μόνην τελεῖ τὴν πρόνοιαν· πᾶν δὲ τὸ σωματικῶς καὶ ὑπὸ τὴν ἀνάγκην. Δύο δὴ οὖν νοείσθω 〈σοι〉 γένη, τὰ μὲν νοητά, τὰ δὲ αἰσθητά· καὶ δύο δυοῖν βασιλεῖαι, προνοίας μὲν ἄνω τῶν τε νοητῶν καὶ τῶν αἰσθητῶν, εἱμαρμένης δὲ κάτω τῶν αἰσθητῶν.

14 ——— ——— 〈Λέγει δὲ ἐκεῖνοσ〉 πᾶσαν ψυχὴν λαχοῦσαν ἐνέργειαν μηδὲν σώματος δεομένην, καὶ οὐσίαν εἰληχέναι τοιαύτην, ἔξω σώματος καὶ χωριστήν.

15 καὶ τοῦτο ἀναγκαίως· εἰ γὰρ τῆς ἐνεργείας ἄνευ σώματος οὔσης τὴν οὐσίαν φέροντες εἰς τὸ σῶμα κατατάξομεν, ἔσται ἡ ἐνέργεια κρείττων τῆς οὐσίας, μηδὲν δεομένη τοῦ χείρονος εἰς τὸ ἔχειν κατὰ φύσιν, κατερριζωμένης ἐν ἐκείνῳ. ἀλλὰ τοῦτο ἀδύνατον. ἀνάγκη ἄρα πᾶσαν τὴν χωριστῶς σώματος ἐνεργοῦσαν καὶ εἶναι σώματος αὐτὴν χωριστήν. Σκόπει τοίνυν .

16 .., τίνα 〈τῶν ἐν ἡμῖν〉 ψυχὴν 〈ὁμολογήσομεν〉 σώματος μηδὲν δεῖσθαι πρὸς τὰς ἑαυτῆς κατὰ φύσιν ἐνεργείας· ἆρα τὴν αἴσθησιν; ἀλλὰ σώμασιν ὡς ὀργάνοις χρῆται πᾶσα αἰσθητικὴ δύναμις καὶ μετὰ τούτων ἐνεργεῖ πρὸς τὰ οἰκεῖα αἰσθητά, τοῖς τε ὄμμασι καὶ τοῖς ὠσὶ καὶ τοῖς ἄλλοις ἅπασι συγκινουμένη καὶ συμπάσχουσα. τί δέ, τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν; ἀλλ' 〈ὁρᾷς ὅτι〉 καὶ αὐτὰ 〈πολλάκισ〉 τοῖς σωματικοῖς μορίοις, τῇ καρδίᾳ καὶ τῷ ἥπατι, συνεργεῖ, καὶ οὐδὲ ταῦτα καθαρεύει σωμάτων· καὶ πῶς γὰρ ἔμελλε τὰ μετ' αἰσθήσεως ἐνεργοῦντα μὴ οὐχὶ καὶ σώματος δεῖσθαι, τῆς αἰσθήσεως ἀεὶ διὰ σώματος κινουμένης; ὀρεκτικὰς δὲ δυνάμεις ... μετ' αἰσθήσεως ἐνεργοῦσι———· τί γὰρ ἂν τῶν ἀναισθήτων ποτὲ θυμωθείη; τί δ' ἂν ἐπιθυμήσειεν; 〈ὀρθῶς καὶ Πλωτίνου εἰπόντος ὅτι πάντα〉 τὰ πάθη ἢ αἰσθήσεις εἰσὶν ἢ οὐκ ἄνευ αἰσθήσεως [Enn. I 1, 1, 12—13]———, τὸ θυμούμενον τὴν τοῦ λυποῦντος αἴσθησιν ἔχον, καὶ τὸ ἐπιθυμοῦν τὴν τοῦ ἥδοντος· τὸ δὲ μετ' αἰσθήσεως ἐνεργοῦν, μετὰ σώματος ἐνεργεῖ—καὶ γὰρ ἡ αἴσθησις μετὰ σώματος· ἀνάγκη ἄρα καὶ τὸ θυμούμενον πᾶν καὶ τὸ ἐπιθυμοῦν μετὰ σώματος ἐνεργεῖν. ταῦτα μὲν δὴ τὰ εἴδη τῆς ζωῆς, ἄλογα πάντα ὄντα, τὴν κατὰ φύσιν ἐνέργειαν ἔχει μετὰ σώματος. Ἐπ' αὐτὴν δὲ ἤδη τὴν λογικὴν ἀναβλέψας ψυχήν, ἴδε τὴν ἐκείνης ζωήν .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17 .. ἐποχουμένην ταῖς κάτω ζωαῖς, διορθοῦσαν τε τὸ αὐτῶν κατὰ τὴν γνῶσιν ἐλλεῖπον, ... σφαλλομένην τὴν αἴσθησιν περὶ τὰ οἰκεῖα γνωστὰ ἄνωθεν διελέγχουσα, ———· καὶ παιδεύουσαν τὸ ἄμετρον τῆς κινήσεως, τὸν θυμὸν πλήττουσα, 〈τοῦτο αὐτὸ τὸ τοῦ Ὁμήρου [υ 18] τέτλαθι δ ή , κραδίη βοῶσα〉 καὶ ὥσπερ κύνα λυττῶντα τῆς ὁρμῆς ἀναστέλλουσα, καὶ αὖ τὴν ἐπιθυμίαν σκιρτῶσαν περὶ τὰς ἐκ τῶν σωμάτων ἀναβλαστανούσας ἡδονὰς κατέχειν ἐπιχειροῦσα, ἀμυνομένη τοῖς σώφροσι λογισμοῖς τὴν γοητείαν αὐτῶν. ἐν ταῖς τοιαύταις ἁπάσαις ἐνεργείαις 〈δηλοῖ δὴ〉 τὰς ἀλόγους πάσας κινήσεις ἀτιμάζουσα, τάς τε γνωστικὰς καὶ τὰς ὀρεκτικάς, καὶ λύουσα ἑαυτὴν ἀπὸ τούτων ὡς ἀλλοτρίων αὐτῆς. δεῖ δὲ ἑκάστου τὴν φύσιν θηρᾶν οὐκ ἀπὸ τῶν διαστρόφως αὐτῇ χρωμένων, ἀλλ’ ἀπὸ τῶν κατὰ φύσιν ἐνεργούντων. εἰ οὖν, ὅταν ὁ ἐν ἡμῖν λόγος ἐλλόγως κινῆται, ἐπιρραπίζει τὴν σκιαγραφίαν τῶν τῆς ἐπιθυμίας ἡδονῶν, κολάζει τοῦ θυμοῦ τὴν προπετῆ κίνησιν, καὶ ἀτιμάζει τὴν αἴσθησιν ὡς ἀπάτης μεστήν, λέγων ὅτι οὔ τ ’ ἀκούομεν ἀκριβὲς οὐδὲν οὔτε ὁρῶμεν [Pl. Phaed. 65 b 3—4], καὶ ταῦτα φθέγγεται βλέπων εἰς τοὺς ἔνδον λόγους, ὧν οὐδένα εἶδε διὰ σώματος ἢ τῶν σωματικῶν γνώσεων· φανερὸν ὅτι κατὰ ταύτην τὴν ἐνέργειαν ἀφίστησιν ἑαυτὸν ἐναργῶς αἰσθήσεων, ὧν καταψηφίζεται, καὶ ἡδονῆς καὶ λύπης, ἃς ἀποσκευάζεται. Μετὰ δὲ ταύτην 〈ὁρῶ〉 ἑτέραν καὶ κρείττονα τῆς ἐν ἡμῖν λογικῆς ψυχῆς κίνησιν, ἠρεμούντων ἤδη τῶν κάτω καὶ μηδένα θόρυβον οἷον ἐν τοῖς πολλοῖς εἴωθε παρεχόντων, καθ’ ἣν ἐπέστραπται πρὸς ἑαυτὴν καὶ ὁρᾷ τὴν ἑαυτῆς οὐσίαν καὶ τὰς δυνάμεις τὰς ἐν αὐτῇ καὶ τοὺς 〈ἐναρμονίουσ〉 λόγους, ἐξ ὧν ὑφέστηκε, καὶ τὰς πολλὰς ζωάς, ὧν ἐστι πλήρωμα· καὶ ἀνευρίσκει ἑαυτὴν κόσμον ὄντα λογικόν, εἰκόνα μὲν τῶν πρὸ αὐτῆς, ἀφ’ ὧν ἐξέθορε, παράδειγμα δὲ τῶν μετ’ αὐτήν, οἷς ἐφέστηκεν.

18 ——— ἀφιστᾶσι μὲν αὐτὴν τῶν αἰσθήσεων, καθαίρουσι δὲ τὸν νοῦν ἀπὸ τῶν περικεχυμένων τῆς ζωῆς ἀλόγων εἰδῶν, καὶ μετάγουσιν ἐπὶ τὴν τῶν ἀσωμάτων εἰδῶν κατάληψιν, οἷον ἔμπροσθεν τῶν ἁγιωτάτων ἱερῶν τὰς περιρράνσεις τοῖς ἐσομένοις μύσταις προτείνουσαι. καὶ γὰρ σκόπει ὅπως αὗται αἱ ἐπιστῆμαι τῶν νοερῶν ἐνεργειῶν προκαθήμεναι τὴν καθαρτικὴν ἣν εἴπομεν εἰλήχασι δύναμιν. εἰ γὰρ παρέλαβον μὲν τὴν ψυχὴν εἰδώλων πεπλησμένην καὶ οὐδὲν τρανῶς γινώσκουσαν καὶ ἄνευ ὑλικῆς φλυαρίας, ἐκφαίνουσι δὲ λόγους τε τὴν ἀνάγκην τῶν ἀποδείξεων ἀνέλεγκτον ἔχοντας καὶ εἴδη πάσης ἀκριβείας καὶ ἀϋλίας μεστὰ καὶ μηδαμοῦ τὴν ἐν τοῖς αἰσθητοῖς ὁλοσχέρειαν ἐπισυρόμενα· πῶς οὐχὶ καθαρτικαὶ μέν εἰσι τῆς νοερᾶς ἡμῶν ζωῆς ἀπὸ τῶν ἀνοίας ἀναπιμπλάντων ἡμᾶς, ὁδοὶ δὲ εἰς τὴν θείαν τῶν ὄντων περιωπήν; Μετὰ ταύτας οὖν ἄμφω τὰς ἐνεργείας τῆς λογικῆς, ὡς εἴρηται, ταύτης ψυχῆς ἐπ’ αὐτήν, βλέψον, τὴν ἀκροτάτην ἀναδραμὼν αὐτῆς νόησιν, δι’ ἧς ὁρᾷ μὲν τὰς 〈ἀδελφὰς αὐτῆσ〉 ἐν τῷ κόσμῳ ψυχάς .

19 .. κατὰ τὴν τοῦ πατρὸς βούλησιν ..., ὧν καὶ αὐτὴ μοῖρά τις οὖσα, τῆς ἐκείνων ὀρέγεται θέας. ὁρᾷ δὲ ὑπὲρ τὰς ψυχὰς ἁπάσας τὰς νοερὰς 〈οὐσίας καὶ〉 τάξεις· πάσης γὰρ ψυχῆς νοῦς θεοειδὴς ὑπερκάθηται, ὃς καὶ τῇ ψυχῇ δίδωσι τὴν νοερὰν ἕξιν. αὖθις δὲ καὶ πρὸ τούτων ὁρᾷ τὰς ὑπὲρ νοῦν 〈θεῶν αὐτῶν〉 μονάδας, ἀφ’ ὧν τὰ νοερὰ πλήθη ὑποδέχεται τὰς ἑνώσεις· δεῖ γὰρ τῶν ἑνιζομένων ὑπεριδρῦσθαι τὰς ἑνοποιοὺς αἰτίας, ὡς τῶν ζωοποιουμένων ζωοποιοὺς καὶ τῶν νοερῶν νοοποιούς, καὶ πάντων ἁπλῶς τῶν μετεχομένων ἀμεθέκτας ὑποστάσεις. κατὰ γὰρ πάσας ταύτας τὰς ἀναγωγοὺς νοήσεις δῆλον οἶμαι ποιεῖν μὴ παντάπασιν ἀθεάτοις, ὡς ἄρα καὶ αἴσθησιν ἀφεῖσα κάτω καὶ σώματα, ταῖς τοῦ νοεροῦ περιωπαῖς ἀναβακχεύεται περὶ τὰς τῶν ὑπερκοσμίων θεῶν ἀτρεμεῖς καὶ ὡς ἀληθῶς μυστικὰς ἐπιβολάς. ἢ πόθεν ἡμῖν καὶ ἐκ ποίων ἐνεργειῶν ἀνέφηναν 〈θεῶν ἔκγονοι〉 τὰς ἀφανεῖς τῶν θεῶν διακοσμήσεις; πῶς δὲ ἐνθουσιάζειν λέγονται ψυχαὶ καὶ ... αὐτοῖς συνάπτεσθαι τοῖς θεοῖς; ——— 〈Συλλήβδην οὖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγωμεν ὅτι〉 λογικὴ ψυχὴ καὶ νοερὰ κατὰ φύσιν ὁπωσοῦν κινουμένη ἔξω γίνεται σωμάτων καὶ αἰσθήσεων, 〈ὥστε〉 ἀναγκαῖον αὐτὴν καὶ οὐσίαν ἔχειν ἀμφοῖν χωριστήν.

20 τούτου δὲ αὖ καταφανέντος, αὐτόθεν ἤδη φανερόν ἐστιν, ὡς ἄρα κατὰ φύσιν μὲν ἐνεργοῦσα κρείττων ἐστὶ τοῦ ἀπὸ τῆς εἱμαρμένης ἄγεσθαι, καταγομένη δὲ εἰς αἴσθησιν καὶ ἀλογουμένη καὶ σωματουμένη συνακολουθεῖ τοῖς κάτω· καὶ συζῶσα μετ’ αὐτῶν ὥσπερ τινῶν μὴ νηφόντων γειτόνων, κρατεῖται καὶ ὑπὸ τῆς τούτων βασιλευούσης αἰτίας. 〈Καὶ γὰρ αὖ τι ἔδει καὶ τοιοῦτο εἶναι τῶν ὄντων γένοσ〉 , κατ’ οὐσίαν μὲν ὑπὲρ εἱμαρμένην ὄν, κατὰ σχέσιν δὲ ὑπὸ ταύτην ποτὲ ταττόμενον. εἰ γάρ ἐστι καὶ ἃ τὸν σύμπαντα αἰῶνα ὑπερίδρυται τῶν εἱμαρμένων νόμων [Pl. Tim. 41e 2], καὶ ἃ κατὰ πᾶσαν τὴν ἑαυτῶν ζωὴν ὑποτέτακται ταῖς τῆς εἱμαρμένης περιόδοις, δεῖ 〈δὴ〉 καὶ τὴν μεταξὺ τούτων εἶναι φύσιν τῶν ποτὲ μὲν ἔξω τῆς 〈εἱμαρτῆς ποιήσεωσ〉 , ποτὲ δὲ ὑπὸ ταύτην τελούντων. αἱ γὰρ τῶν ὄντων πρόοδοι οὐδὲν ἀπολείπουσι κενόν, πολλῷ μᾶλλον ἢ αἱ τῶν σωμάτων θέσεις· ἀλλὰ τῶν ἄκρων εἰσὶ πανταχοῦ μεσότητες, αἳ κἀκείνοις παρέχονται τὴν πρὸς ἄλληλα σύνδεσιν. Ταῦτα .

21 .. σαφῶς ἀπεκάλυψεν ἡμῖν τὰ θεοπαράδοτα λόγια——— ἀπάγοντα ἡμᾶς αἰσθήσεων καὶ ὑλικῶν ὀρέξεων· δι’ ὧν γὰρ σωματούμεθα καὶ σωματωθέντες ἐξ ἀνάγκης ὑπὸ τῆς εἱμαρμένης ἀγόμεθα. πανταχοῦ γὰρ τὰ ὄντα ἡ ὁμοιότης ἀλλήλοις συνάπτει· ἐξομοιούμενον δέ τινι ... τῆς αὐτῆς τούτῳ ἀπολαύεται πολιτείας, 〈ὥστε καὶ〉 τῆς ἡγεμονούσης τῆς πολιτείας· οὐδὲν γὰρ ἀπροστάτευτον οὐδὲ ἄναρχόν ἐστιν ἐν τῷ παντί, κἂν τῶν ὅλων εἴπῃς, κἂν τῶν μερῶν· ἄρχεται δὲ ἄλλα ὑπ’ ἄλλων, καὶ γὰρ ζῇ τὰ μὲν ἄλλως, τὰ δὲ ἄλλως. ἔπειτα περὶ τῆς θειοτάτης ἀναδιδάσκουσα ζωῆς ἡμᾶς καὶ τῆς ἀχράντου πολιτείας——— Ταύτην οὖν καὶ τὴν τοιαύτην προβαλοῦσα ζωὴν ψυχὴ οὐκ ἔσται τῶν ἀγομένων ὑπὸ τῆς εἱμαρμένης· ἐὰν δὲ ἐθέλῃ σώματα πλάττειν [Pl.

22 Tim. 42d 6] καὶ τῶν σωματικῶν καλουμένων ἀγαθῶν ἀντέχεσθαι καὶ τιμὰς ἐπιδιώκῃ καὶ δυναστείας καὶ χρηματισμούς, ——— χαίρειν οὖν τούτοις εἰπόντες πρὸς ἃ δεδέμεθα, θεασώμεθα τὸ κράτος τῆς ἀρετῆς, καὶ τὴν εἱμαρμένην οὐκ εἰς ἡμᾶς τι δρῶσαν, ἀλλ’ εἰς τὰ περὶ ἡμᾶς. ἐπεὶ καὶ ὅσα πρώην ἡμῖν ἀκουσίως συνέπεσε———θνητὰ πάντα διέφθειρε καὶ χρήματα διώλεσεν, ἔξωθεν ὄντα———. τῶν δ’ ἐν ἡμῖν οὐδεὶς οὕτως ἐστὶ δυνατός, ὥστ’ ἀφελέσθαι τι, κἂν πᾶσαν ἔχῃ τὴν ἀνθρωπίνην ἐξουσίαν. καὶ γὰρ εἰ σώφρονες ἦμεν, ἐκείνων οἰχομένων ἐσμέν, καὶ εἰ φιλοθεάμονες τῶν ὄντων, οὐδὲ ταύτην ἀφῃρήμεθα τὴν ἕξιν, ἀλλὰ καὶ ἐπιγινομένων τῶν πανδείνων τραυμάτων, διατελοῦμεν ὑμνοῦντες ἡμεῖς τοὺς πάντων 〈ἄρχοντασ〉 καὶ ζητοῦντες τὰς αἰτίας τῶν γινομένων. Μηδαμῶς τοίνυν ἀπὸ τῶν ἐσχάτων ἐνεργειῶν ὀνειδίζωμεν τῇ ψυχῇ τὴν ἀνάγκην, ἀλλ’ ἀπὸ τῶν πρώτων θαυμάζωμεν αὐτῆς τὴν ἀδέσποτον ἀρετήν.

23 κἂν οὕτω φρονῶμεν, οὐδὲν ἡμᾶς ταράξει τῶν κάτω παρασχόντων, ἀλλ’ ὅταν τοῦ σώματος ταραττομένου καὶ ἡμεῖς δεινά τινα ὑπομένειν οἰώμεθα, οὐχ ἡμεῖς 〈ἐσμεν οἱ λέγοντες, ἀλλ’ ἔστιν ἐπιθυμίας ῥῆμα〉 · ταύτης γὰρ καὶ αἱ ἡδοναὶ τοῦ σώματος, ὥστε καὶ αἱ λῦπαι. καὶ ὅταν ἀλγῶμεν χρημάτων ἀποστερούμενοι ἢ μὴ τυγχάνοντες—καὶ γὰρ τὸ φιλοχρήματον ... 〈ψυχῆς ἐστιν〉 —, καὶ αὖ ὅταν ἀτιμαζόμενοι καὶ δυναστείας ἐκπίπτοντες ἀγανακτῶμεν, οὐκ ἔστι τῆς ἄνω ψυχῆς τὸ πάθος, ἀλλὰ τῆς περὶ τὴν καρδίαν κατῳκισμένης· καὶ γὰρ τὸ φιλότιμον ἐκείνης ἐστίν. ὁ δὲ ἐν ἡμῖν λόγος ἐν ἅπασι τοῖς τοιούτοις ἠπατημένος ἕπεται τοῖς χείροσι καὶ συναποδυσπετεῖ, νοῦς ὢν τυφλός, καὶ οὔπω καθήρας ᾧ δύναται βλέπειν ἑαυτόν τε καὶ τὰ πρὸ αὐτοῦ καὶ τὰ μετ’ αὐτόν· καθαρὸς δὲ γενόμενος ὧν ἠμφιάσατο ..., γνώσεταί που τὸ ἐπ’ αὐτῷ, καὶ ὡς οὔτε ἐν τοῖς σωματικοῖς—μετ’ αὐτὸν γάρ—οὔτε ἐν οἷς τῷ θείῳ τὸ αὐτεξούσιον—πρὸ αὐτοῦ γάρ—, ἀλλ’ ἐν τῷ ζῆν κατ’ ἀρετήν. αὕτη γὰρ ἐλευθέρα μόνη καὶ ἀδέσποτος [Pl. resp. X 617e] καὶ ἐλευθεροπρεπὴς [Pl. Alc. I 135c] καὶ δύναμις ὡς ἀληθῶς ψυχῆς, καὶ δυνάστης ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταύτην ἔχων· δυνάμεως γὰρ πάσης ἔργον τὸ ἔχον αὐτὴν συνέχειν καὶ σώζειν. Εἰ δέ τις εἰς κακίαν βλέπῃ ψυχῆς, εἰς ἀσθένειαν βλέπει, κἂν πᾶσαν ἄλλην δύναμιν ἔχῃ· ἄλλη γὰρ ὀργάνων δύναμις, καὶ ἄλλη τῶν χρῆσθαι μελλόντων τοῖς ὀργάνοις. [20]

24 πᾶσα τοίνυν ψυχὴ καθ’ ὅσον ἀρετῆς μετέχει, καὶ τοῦ ἐλευθέρα εἶναι μετέχει· καθ’ ὅσον δὲ κακίας καὶ ἀσθενείας, καὶ τοῦ δουλεύειν ἄλλοις· καὶ οὐχὶ εἱμαρμένῃ μόνον, ἀλλὰ πᾶσιν, ὡς εἰπεῖν, τοῖς τὸ ὀρεκτὸν ἢ δοῦναι βουλομένοις ἢ ἀφελεῖν δυναμένοις, ἐπεὶ καὶ ὁ τὴν ἀρετὴν ἔχων μόνοις δουλεύει τοῖς ἱκανοῖς οὖσι τὸ ἐφετὸν αὐτῷ πορίσαι καὶ συναυξῆσαι· οὗτοι δέ εἰσιν οἱ θεοὶ, παρ’ οἷς ἡ ὡς ἀληθῶς ἀρετὴ καὶ ἀφ’ ἧς ἡ ἐν ἡμῖν. 〈καί που καὶ Πλάτων〉 ἐθελοδουλείαν ταύτην [conv. 184c 6] μεγίστην εἶναί 〈φησιν〉 ἐλευθερίαν· πᾶσαν γὰρ ἐξουσίαν τῶν πάντων κεκτημένοις δουλεύοντες, ἐξομοιούμεθα αὐτοῖς, 〈ὥστε καὶ πάντα τὸν κόσμον διοικεῖν, ὥς φησιν αὐτόσ〉 · τελέα γὰρ οὖσα καὶ ἐπτερωμένη μετεωροπορεῖ τε καὶ πάντα τὸν κόσμον διοικεῖ [Pl. Phaedr. 246c 1—2]. τοῦτο μὲν οὖν ταῖς θειοτάταις ὑπάρχει τῶν ἡμετέρων ψυχῶν, ὥσπερ ταῖς ἐσχάταις τὸ καθάπερ ἐν δεσμωτηρίῳ πεπεδῆσθαι τῷ σώματι καὶ ζῆν ἀκούσιον ζωὴν ἀντὶ τῆς ἑκουσίου καὶ ἐλευθέρας· ταῖς δὲ μεταξὺ τούτων, καθ’ ὅσον ἀπολύονται παθῶν καὶ σωμάτων, τὸ ἀπανίστασθαι τῆς ἀνάγκης ἐπὶ τὴν ἐξουσιάζουσαν τῇ γενέσει ζωήν. ——— καὶ τοῖς μὲν τὸ ἠναγκασμένως ἐνεργεῖν προσήκει, 〈τῷ δὲ νῷ καὶ τῷ θεῷ〉 τό τε κρειττόνως ἁπάσης ἀνάγκης καὶ τὸ μόνως ἐλεύθερον· ἀνάγκη οὖν τὴν ψυχὴν 〈ἢ παρ’ ἐκείνοις ἢ παρὰ τούτοις γενομένην〉 ἢ τῶν χειρόνων τὴν ἀνάγκην ἐνδύεσθαι ἢ τὴν ἐλευθερίαν προβάλλεσθαι τῶν κρειττόνων, καὶ δουλεύειν μὲν ἢ ἄνωθεν ἀρχομένην ἢ κάτωθεν· δουλεύουσαν δὲ ἢ συνάρχειν τοῖς 〈ἄρχουσιν αὐτῆσ〉 ἢ συνδουλεύειν τοῖς μόνον δουλεύουσιν. [5]

25 ἐνταῦθα δὴ ἀναβᾶσα ψυχὴ καὶ ἀναλαβοῦσα τὴν αὑτῆς δύναμιν, τὴν ἀρετήν, οὐδὲν δεινὸν ἡγήσεται, κἂν ὁτιοῦν γίνηται περὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς σώματος· οὐ γὰρ τὰ πάθη τῶν ὀργάνων ἐπὶ τοὺς χρωμένους μέτεισιν, ἀλλὰ καὶ τούτων ὁπωσοῦν ἐχόντων ἐνεργήσει τις κατὰ τὴν ἀρετήν· νοσοῦντος μὲν εἰ τύχῃ που σώματος ἀνδριζόμενος, ὑγιαίνοντος δὲ σωφρονῶν· καὶ πενίας μὲν παρούσης μεγαλοφρόνως ἐνεργῶν, πλούτου δὲ ταπεινοφρόνως· πανταχοῦ καὶ τοῖς δοκοῦσιν εὐροεῖν ἐφιστὰς τὴν χρησομένην ἀρετήν, καὶ τοῖς ἐναντίοις ἀνθιστὰς τὴν ἀδούλωτον ποιοῦσαν, καὶ τῷ ἔνδοθεν φεύγει τὰς ἔξωθεν πληγὰς ἀμυνόμενος——— ἐφεῖται γὰρ——— 〈πολλῷ μᾶλλον〉 τοῖς κατ’ ἀρετὴν ζῶσι τὸ τὴν δοθεῖσαν ἐκ τοῦ παντὸς δύναμιν ἄλλῃ δυνάμει τῇ ὡς ἀληθῶς κοσμῆσαι. καὶ ὁ μὲν οὕτως ἔχων γεννάδας ἐστὶ καὶ ἐλεύθερος· ὁ δὲ κακὸς πάντων ἐστὶ δοῦλος, κἂν ἄρχῃ πάντων, ———· καὶ τούτων ἡ ἀνάγκη κρατεῖ τῶν ἀκρατῶν ἑαυτῶν· ἀποστᾶσι γὰρ αὐτοῖς τῶν θεῶν ὡς ἀλόγοις τούτοις χρῆται τὸ πᾶν. Ὅταν τοίνυν ἰδεῖν τὸ ἐφ’ ἡμῖν ἐθέλῃς, ἴδε ψυχὴν κατὰ φύσιν ζῶσαν· ζῇ δὲ κατὰ φύσιν ἡ μὴ ἀσθενής· οὐδὲν γὰρ ἀσθενὲς ἐν τῷ κατὰ φύσιν. [25]

26 ἔστι δὲ οὐκ ἀσθενὴς ἡ μὴ κακίας ἀνάπλεως· ἀσθενὲς γὰρ τὸ κακὸν ἐν ἅπασι. κἂν οὕτω βλέπῃς, ὄψει τὴν τοῦ ἐφ’ ἡμῖν φύσιν ὁποία τίς ἐστι, χρωμένην ἅπασι τοῖς περιεστῶσιν ὀρθῶς, καὶ ἢ γενέσθαι κωλύουσαν ἢ γενόμενα τὰ πάθη τῶν χειρόνων θεραπεύουσαν· παραδοῦσαν μὲν τῇ εἱμαρμένῃ δρᾶν εἰς τὰ μετ’ αὐτήν, ὧν ἐστὶ κυρία· συντεταγμένην δὲ τοῖς πρὸ αὐτῆς, ὧν μὴ ἀποτέτμηται, κρειττόνων ὄντων. ——— 〈ἄλλην . [5]

27 .. γνῶσιν ...〉 τὴν ἄνευ αἰτίας μόνην τὴν τοῦ ὅτι ἀλήθειαν γινώσκουσαν, ———δόξαν αὐτὴν ἀποκαλοῦντες, τοῖς μὲν παιδευομένοις περὶ τὰ πρακτά, τοῖς δὲ ἤδη τῶν ἀνθρωπίνων ἀπολυομένοις περὶ τὰ ὄντα ...· 〈καὶ γὰρ παιδεία〉 κάθαρσίς ἐστι ἀμετρίας παθῶν, καὶ πολλῷ μᾶλλον ἡ ἀπὸ μετριοπαθείας εἰς ἀπάθειαν ὁδός, μηκέτι τοῦ λόγου συμπάσχειν μέν, ἀλλὰ μετρίως, ἐθέλοντος, πάντα δὲ τὸν ἐκ τῆς σκηνῆς τῶν παθῶν μολυσμὸν ἐκτινασσομένου. ——— γνῶσιν ὑπὲρ νοῦν καὶ μανίαν ὡς ἀληθῶς θρυλλοῦσιν ἔνθεον . [6]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

31 .. τῆς ψυχῆς, μηκέτι τὸ νοερὸν ἐγείρουσαν, ἀλλὰ συναφθεῖσαν τῷ ἑνί. πάντα γὰρ τῷ ὁμοίῳ γινώσκεται, αἰσθήσει τὸ αἰσθητόν, ἐπιστήμῃ τὸ ἐπιστητόν, νῷ τὸ νοητόν, ἑνώσει τὸ ἕν——— ᾧ ἡ ψυχὴ συναφθεῖσα ἠρεμεῖ, μύσασα ταῖς καταγνώσεσι, ἄφθεγκτος γενομένη καὶ σιγήσασα τὴν ἔνδον σιγήν. καὶ πῶς γὰρ ἂν συναφθῇ τῷ ἀρρητοτάτῳ 〈πάντων ἄλλωσ〉 ἢ τὰ ἐν αὐτῇ κοιμίσασα φθέγματα; ——— 〈ὁρῶσα γὰρ〉 νοητὸν ὄψεται καὶ οὐχ ὑπὲρ νοῦν, καὶ τὶ ἓν νοήσει καὶ οὐ τὸ αὐτοέν. ——— μόνῳ πιστεύσας ἑαυτῷ . [15]

32 .., καὶ ἠρεμίσας ἑαυτὸν οὐκ ἀπὸ τῶν ἔξω μόνον κινήσεων, ἀλλὰ καὶ ἀπὸ τῶν ἔνδοθεν, θεὸς ὡς δυνατὸν ψυχῇ γενόμενος, μόνον ὅπως οἱ θεοὶ τὰ πάντα ἀρρήτως γινώσκουσιν γνώσεται ———. 〈τέωσ〉 δὲ περὶ τὰ κάτω στρεφόμεθα, δυσαναπείστως ἔχομεν περὶ τὸ τοῦ θείου ἀμερίστως πάντα καὶ ὑπεραιωνίως γινώσκοντος, εἶναι μὲν αἰωνίως τὰ ὄντα, γίνεσθαι δὲ κατὰ χρόνον 〈τὰ γινόμενα〉 , μήτε χρόνου ὄντος μήτε αἰῶνος 〈ἐν〉 τῷ ἑνί. ——— πάντων τῶν γινομένων προηγουμένως μὲν αἴτιον εἶναι τὸν θεόν, παρ’ οὗ πᾶσιν ἐφήκει τὸ ἀγαθόν· μετ’ ἐκεῖνον δὲ τὴν τοῦ κόσμου περίοδον καὶ τὸν καιρόν, ἐν ᾧ τὰ γινόμενα συναρμόζεται τοῖς ὅλοις καὶ συντάττεται, μηδενὸς πρὸς τὴν τῶν ὅλων πολιτείαν ὄντος ἐπεισοδιώδους· 〈τρίτον δὲ〉 ἑαυτούς, ἐν οἷς ἂν προελόμενοι τύχωσι ταῖς ἑαυτῶν ὁρμαῖς συντελέσαντες εἰς τὴν τῶν πρακτῶν ἀποπλήρωσιν· ὅταν δέ τι παρὰ τὴν αὐτῶν συμπέσῃ προαίρεσιν, τότε μόνα τὰ ὅλα καὶ τὴν τούτων ποίησιν εἰκότως ὡς κρατήσασαν αἰτιώμενοι· τὰ μὲν γὰρ μερικὰ ἀναγκαῖον πανταχοῦ ἐνεργεῖν μετὰ τῶν ὅλων, τὰ δὲ ὅλα καὶ χωρὶς ἐκείνων καὶ μετ’ ἐκείνων. [15]

34 ——— 〈ἄκουε Πλάτωνα ἐν Νόμοις βοῶντα〉 ὡς θεὸς μὲν πάντ α , καὶ μετὰ θεὸν τύχη καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι σύμπαντ α· ἡμέτερον μὴν τρίτον τούτοις δεῖν ἕπεσθαι τέχνη ν· ἐν καιρῷ γὰρ χειμῶνος μὲν συνεργεῖν τι καὶ κυβερνητικήν [leg. IV 709 b/c], ὑγιάνσεως δὲ καὶ ἰατρικήν, καὶ ὅλως ἐπὶ τῶν πρακτῶν τὴν πολιτικήν. κἂν κατορθῶμεν τοίνυν, τὴν εἱμαρμένην καὶ τὸν καιρὸν καὶ τὸν θεὸν αἰτιατέον, ἵνα τὸ κατόρθωμα τρεῖς ἔχῃ αἰτίας· τὴν μὲν ποιοῦσαν αὐτὸ ἀγαθόν, τὴν δὲ τεταγμένον εἰς μίαν τὴν πρὸς τὸ πᾶν ὁμολογίαν, τὴν δὲ ἀνθρώπινον ὅλως. καὶ γὰρ πᾶν ἀνθρώπινον ἔργον μέρος ἐστὶ τοῦ παντός, ———καὶ πᾶν μὲν τοῦ κοσμικοῦ συστήματος τούτου καὶ δράματος μέρος τέλος ἔχει τὸ ἀγαθόν· οὐδὲν γὰρ ἄτακτον ἀφεῖται τῶν μερῶν, ἀλλὰ συνυφαίνεται πρὸς τὸ εὖ τοῦ παντός, οὐκ ἀνάπαλιν δὲ πᾶν τὸ τοῦ ἀγαθοῦ τυγχάνον μετὰ κοσμικῆς συντέτακται πολιτείας· ἔστι γὰρ καὶ ὑπὲρ τὸν κόσμον ζωὴ 〈καὶ ἡ ζωὴ τῶν θεῶν καὶ τῶν〉 ψυχῶν ὑπὲρ εἱμαρμένην χορευουσῶν καὶ τῇ προνοίᾳ μόνῃ συνεπομένων. 〈Ποῦ〉 οὖν 〈ἐνταῦθα〉 τὸ ἐφ’ ἡμῖν, ὁπόταν τὸ γινόμενον συμπλέκηται τῇ περιόδῳ τοῦ κόσμου, καὶ αὖ ὁπόταν ἐκ μόνης ἐκείνης ἀποτελῆται; 〈ποῦ δὲ ἀλλαχοῦ ἐροῦμεν ἢ〉 ἐν ταῖς ἡμετέραις ἔνδον αἱρέσεσι καὶ ὁρμαῖς; μόνων γὰρ τούτων ἡμεῖς κύριοι· τῶν δὲ ἔξω γενομένων μετὰ πλειόνων ἄλλων καὶ δυνατωτέρων. [5]

35 δεῖ γὰρ τὸ ἔξω γενόμενον γίνεσθαι μέρος τοῦ παντός, ἵνα καὶ γένηται· τοῦτο δὲ συνεπινεύοντος καὶ συνεργαζομένου τοῦ παντός, ἵνα εἰς ἑαυτὸ ποιῇ τὸ πᾶν, μέρει ἑαυτοῦ δρῶν εἰς ἄλλο καὶ ὑπ’ ἄλλου πάσχον. καὶ διὰ ταῦτα ἄρα καὶ ἐπὶ τοῖς γινομένοις τοὺς μὲν ἐπαινοῦμεν, τοὺς δὲ ψέγομεν, ὡσανεὶ κυρίους καὶ αὐτοὺς διὰ τὴν αἵρεσιν γενομένους· καὶ ὁποῖα ἄττα ἂν εἴη τὰ γινόμενα, τοιοῦτον οὐ τὸν κόσμον φαμέν, ἀλλὰ τὸν δράσαντα· τὸ γὰρ ἐν αὐτοῖς ποιὸν οὐκ ἀπὸ τοῦ κόσμου ἦν, ἀλλ’ ἀπὸ τῆς τοῦ πράξαντος ζωῆς· συντέτακται δὲ πρὸς τὸ πᾶν 〈διὰ τὸ πᾶν〉 , καὶ ἔστιν πάλιν τοιόνδε διὰ τὸ μέρος. ——— 〈καὶ τί δεῖ λέγειν〉 , ὅπου γε καὶ τὰς νόσους αὐτοθελεῖς ἀναβλαστάνειν ἡμῖν 〈φασιν〉 , φυομένας ἐκ τῆς ἡμετέρας τοιᾶσδε ζωῆς; Οὐκ ἄρα δεῖ τὰ γινόμενα πάντα ἐπὶ μόνην τὴν τάξιν ἀναπέμπειν τοῦ παντός, ὥσπερ οὐδ’ ἐπὶ τὴν ἡμετέραν ὁρμήν· οὐδ’ αὖ παραιρεῖσθαι τὴν ψυχὴν τοῦ τῶν αἱρέσεων κράτους, ἐν αὐτῷ τούτῳ τῷ προαιρεῖσθαι μόνον λαχοῦσαν τὸ εἶναι, καὶ τὰ μὲν ἐκκλίνειν, τοῖς δὲ ἐπιτρέχειν, κἂν μὴ τοῦ παντὸς ᾖ ἐν τοῖς γινομένοις κυρία. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

36 δεῖ γὰρ ἑκάστην αἰτίαν τοῦτο μόνον ἀπαιτεῖν, ἐφ’ ᾧ πέφυκε· πέφυκε δὲ τὸ ἐφ’ ἡμῖν μὴ μόνον εἶναι πρακτικόν, ἀλλὰ καὶ προαιρετικὸν καθ’ αὑτὸ ἢ μετ’ ἄλλων προαιρούμενον πράττειν. καὶ διὰ τὴν προαίρεσιν φαμὲν αὐτὸ καὶ ἁμαρτάνειν καὶ κατορθοῦν, ἐπεί, κἂν τὸ πραχθὲν ἀγαθὸν εἴῃ, τὸ δὲ πρᾶττον ἐκ προαιρέσεως ἐνεργῇ μοχθηρᾶς, κακίζομεν τὴν πρᾶξιν· τὸ μὲν γὰρ χρηστὸν ἐν τῷ γενομένῳ δι’ ἄλλο, τὸ δὲ μοχθηρὸν διὰ τὸ προελόμενον. οὕτως ἄρα ἐναργές ἐστι πᾶσι τὸ κυρίους ἡμᾶς ὑπάρχειν τῶν πράξεων, καθ’ ὅσον εἰσὶ προαιρετικαί. ——— εἰ οὖν μὴ μάτην φιλοπευστοῦμεν ἡμεῖς περὶ τοῦ μέλλοντος—οὐ μάτην δέ, εἴπερ τοῦτό γε κατὰ φύσιν ἡμῖν· οὐδὲν γὰρ τῶν κατὰ φύσιν μάτην—, δεῖ δὴ μὴ πάντα τῆς περιφορᾶς ἐξάπτοντας ἀναγκάζειν, ἀλλά τι ὠφελοῦσαν τίθεσθαι ἡμᾶς καὶ τὴν πρόγνωσιν· καὶ τοὺς βίους ἡμῶν οὐχ ἵνα προεγνωκότες πάσχωμεν μόνον, ἀλλ’ ἵνα τῷ προγνῶναι γενώμεθα προχειρότεροι πρὸς τὸ καὶ αὐτοὶ συνεργῆσαί τι ἢ μὴ συνεργῆσαι τοῖς ἐσομένοις. [20]

38 Πρὸς δὲ ταῦτα 〈καὶ οὐ θειασμοὺς μόνον〉 , ἀλλὰ καὶ τὰς εὐχὰς καὶ τὴν ἱερατικὴν πραγματείαν ἅπασαν συντελέσαι 〈φασίν〉 · ἢ καὶ ταύτας ... ἐξελάσαντες ..., οὐδὲ ἀνατείνειν τὰς χεῖρας οὐδὲ ἱκετείας γίνεσθαι δώσομεν πρὸς τοὺς ἀναστέλλειν δυναμένους τὰ οὐράνια ῥεύματα. μάτην ἄρα πάντας τε ἀνθρώπους ἀεί που θεὸν καλεῖν, ἐν οἷς ἂν ἐλπίσωσι χαλεποῖς, καὶ αὐτὸν 〈τὸν Ἀπόλλω μάτην〉 χρησμωδεῖν, ὅτι ποιήσασι μὲν τάδε φυγεῖν ὑπάρξει τὰς ... ἐπηρτημένας τιμωρίας αὐτοῖς, τοῖς δὲ μὴ ποιήσασιν ἀναπόδραστον ἀπαντήσεσθαι τὸ δεινόν. Καίτοι γε εἰ μὴ ἦν ἐφ’ ἡμῖν ποιῆσαί τε καὶ μή, πῶς οὐ τὸ συνδιαιρεῖσθαι ... ταῖς αἱρέσεσι παντελῶς ἄτοπον; ἀλλὰ μήτε 〈περὶ〉 τοῦ θεοῦ ταῦτα προαγορεύωμεν, μήτε τὸ τῆς ἐνθεαστικῆς καὶ τῆς ἱερατικῆς χρήσιμον ἐκ τῶν ἀνθρωπίνων διαγράφωμεν, ἐπεὶ καὶ τὰς ἱστορίας ἁπάσας, τάς τε βαρβαρικὰς καὶ Ἑλληνικάς, συμμαρτυρούσας ἔχεις, ὡς ἄρα διὰ 〈τὴν ἐνθεαστικὴν εἴτε ἐκ〉 τῆς θείας ἐπιπνοίας, 〈εἴτε ἐκ τῆς ἀνθρωπίνης τέχνησ〉 , πολλοὶ πολλάκις ἔγνωσάν τε ἃ δεῖ πρᾶξαι, καὶ γνόντες ἀπαραιτήτων κακῶν ἐλεύθεροι εἰς τὸ μέλλον κατέστησαν. ——— ——— ἡνίκα μέντοι τὰ ἐν τῷ παντὶ 〈πάντα〉 θεῖά 〈τε καὶ δαιμόνια〉 αἴτια συνδράμῃ πρὸς ἕν . [5]

39 .., τηνικαῦτα ἀδρανῆ τὰ τῆς ἱερατικῆς φαίνεται, μάχεσθαι 〈γὰρ〉 τῷ ὅλῳ τοῦ μέρους καὶ ἐναντία φέρειν ἀδυνατοῦντος· καὶ ἡ πρόγνωσις οὐδὲν προστίθησιν ἢ ἀφαιρεῖ τῶν 〈θειαστῶν〉 · ἡνίκα δὲ ἂν πολλῶν ὄντων τῶν ποιούντων, τὰ μὲν 〈ἄλλο τι〉 φέρει, 〈τὰ δὲ ἄλλο, οἷον〉 τὰ μὲν φθοράν, τὰ δὲ σωτηρίαν τῶν νοσούντων, ———τηνικαῦτα καὶ ἡ ἱερατικὴ παραγομένη λύει τὰς ἀπὸ τῶν βλαπτόντων ἀπορροίας ταῖς ἀπὸ τῶν ὠφελούντων ἡμᾶς χρωμένη συνεργοῖς δυνάμεσι· καὶ ἡ τοῦ μέλλοντος ἐπίσκεψις μεγάλην ἔχει μοῖραν ἐν τοῖς ἀποτελέσμασι. καὶ ὅλως ἐνταῦθα τὸ ἐφ’ ἡμῖν ἢ τοῖσδε τοῖς αἰτίοις ἢ τοῖσδε συνταττόμενον, ὥσπερ ἐν πλάστιγξιν ἐπιβρίσαν τῇ ἑαυτοῦ κινήσει παρέσχε τοτὲ μὲν ἄλλο, τοτὲ δὲ ἄλλο τέλος. καὶ ταῦτα ... περὶ τῶν ἔξω γινομένων. 〈πανταχοῦ δ’ αὖ ἐκεῖνο προϋπάρχειν λέγω, τὸ〉 τὴν ποιὰν ὁρμὴν καὶ τὴν αἵρεσιν χαρακτηρίζειν τὸ ἐφ’ ἡμῖν· καὶ τοῦτο εἶναι ψυχῆς ἔργον, ἐν αὐτῇ μένον ἀνέκφορον εἰς τὸ πᾶν. ——— τῆς αἰσθήσεως ἀχωρίστου σωμάτων οὔσης καὶ ἀσθενούσης ἐπιστρέφειν πρὸς ἑαυτήν——— πᾶν τὸ γνωστικὸν κατ’ ἐνέργειαν ἐπέστραπται πρὸς τὸ γνωστόν, ὥστε καὶ τὸ ἑαυτοῦ πρὸς ἑαυτό. [13]

41 ποίαν 〈οὖν ὁρᾷσ〉 τῆς νοερᾶς ψυχῆς καὶ αἰσθητικῆς ταυτότητα; τῆς κάτω βλεπούσης πρὸς τὴν εἰς τὰς τῶν ὅλων ἀρχὰς ἀνατεινομένην; τῆς ἐνταφείσης τοῖς σώμασι πρὸς τὴν σωμάτων ἐν ταῖς κατὰ φύσιν ἐνεργείαις καθαρεύουσαν; τῆς οὐδαμοῦ τὴν ἀλήθειαν γνῶναι δυναμένης πρὸς τὴν ἐπορεγομένην ἀεὶ τοῦ ὄντος; Εἰ δ’ οὐ μάτην οὐδ’ ἐπ’ ἄλλου τινὸς ἡ κατὰ φύσιν ὄρεξις, καὶ τυγχάνουσάν ποτε τῆς ἀληθείας——— ———οὐδὲ γεωμετρίας ἢ ἀριθμητικῆς, μή τι γε τῆς νοερᾶς ἐνεργείας ἀξίαν . [15]

43

Eulogikon public reading copy · View original HTML at eulogikon.org

.. 〈ἡμετέραν ψυχήν〉 , ταῖς αἰσθήσεσιν αὐτὴν συντάξας ——— 〈τοῦτο πρῶτον ἔργον ἐστὶ τῶν ἐπιστημῶν τούτων〉 παύειν τῆς ψυχῆς τὴν μετ’ αἰσθήσεων ἐνέργειαν καὶ ἀπάγειν ἐκ τούτων ὡς δυνατόν, καὶ συνεθίζειν ἔνδον βλέπειν καὶ λόγους ὁρᾶν ἀΰλους καὶ ἀποδείξεις ἀναζητεῖν μαχομένας ταῖς αἰσθήσεσιν. αὗται μὲν γὰρ ἀναίνονται τὴν ἀμέρειαν, αἱ δὲ ἀπὸ τῶν ἀμερῶν τοῖς μεριστοῖς εἶναι τὴν ὕπαρξιν διδάσκουσι, καὶ ἀρχαὶ ταῖς μὲν τὰ μεριστά, ταῖς δὲ τὰ ἀμερῆ. καὶ αἱ μὲν αἰσθήσεις τὰ τί καὶ τὰ καθέκαστον γινώσκειν οἴονται, αἱ δὲ τὰ καθόλου καὶ ὧν ἡ αὐτὴ φύσις ἀεί, ἣν οὐκ ἀπὸ τῶν αἰσθητῶν ἔλαβον—οὐ γάρ ἐστι τὰ ἀτελῆ τῶν τελείων αἴτια—ἀλλ’ ἄνωθεν ἀπὸ νοῦ· διὸ καὶ κρίνουσι τὰς αἰσθήσεις καὶ 〈τὴν ὁλοσχέρειαν〉 τῆς γνώσεως ὀνειδίζουσιν αὐταῖς, τὰς τῶν γνωστῶν μετὰ παθῶν ἀντιλήψεις, τὰς ἀορίστους ὑπὸ τῶν αἰσθητῶν κινήσεις. καὶ γάρ εἰσιν ὄντως παίζουσαι γνώσεις αἱ τῶν αἰσθήσεων γνώσεις· αἱ δ’ ἐκείνων ἤδη σπουδάζουσαι καὶ ἐθίζουσαι τῶν μὲν παιγνίων ἀπέχεσθαι, θηρᾶν δὲ τὴν ὄντως γνῶσιν ἀντὶ τῆς παιζούσης. ——— πᾶν γὰρ εἶδος ἀχώριστον ὕλης ἐκεῖθεν ἀπογεννᾶται καὶ συνέχεται. [3]

44 στραφὲν γὰρ 〈αὐτὸ〉 πρὸς ἑαυτὸ οὐκ ἐνδέχεται 〈λέγειν ὅτι〉 ἄλλο μέν ἐστι τὸ ἔξωθεν αὐτῷ προσπεσόν, ἄλλο δὲ τὸ ἀληθές. 〈λέγει δὲ〉 ἐκεῖνο μόνον, ὃ τὸ πάθος ἀπήγγειλε· διὸ καὶ τῶν ἑτεροκινήτων ἐστί, καθαρὰν τῶν ἑτεροκινήτων ἐνέργειαν οὐκ ἔχον. —τὴν δὲ νοερὰν μὲν κατὰ τὴν αὐτῆς φύσιν, οὐκ ἀνεχομένην δὲ τοῖς βιαίοις παθήμασι τῆς αἰσθήσεως ἀκολουθεῖν, ἐν ἑαυτῇ δὲ τὰ κριτήρια περιέχουσαν τῶν ἔξωθεν ἀπατηλῶν κινήσεων, καὶ προστιθεῖσαν μὲν τὸ ἐλλεῖπον οἷς ἡ αἴσθησις πάσχει, διελέγχουσαν δὲ αὐτῶν τὸ ψεῦδος, καὶ ταῦτα οἴκοθεν πράττουσαν· οὐ γὰρ ἀπὸ τῆς αἰσθήσεώς ἐστι κρίνειν τὴν αἴσθησιν, ἀλλ’ ἀπὸ τῶν νοερῶν λόγων, ὧν ἄδεκτος ἡ τῆς αἰσθήσεως γνῶσις. Ἀπεναντίας δήπου τῇ αἰσθήσει θετέον ἄϋλον καὶ χωριστὴν καὶ αὐτενέργητον· καὶ ταύτῃ μὲν καὶ προαίρεσιν δοτέον τῆς ἐφ’ ἑκάτερα ῥοπῆς, ἄνω τὲ καὶ κάτω, πρὸς νοῦν ... καὶ πρὸς αἴσθησιν ...· τῇ δὲ αἰσθήσει καὶ πάσαις ὁμοῦ ταῖς ἐν σώμασι ζωαῖς τὸ ἀπροαίρετον, διότι καὶ τοῖς σώμασι. μέση γὰρ ἡ λογικὴ ψυχὴ νοῦ καὶ αἰσθήσεως οὖσα, φέρεται μὲν ἐπ’ ἄμφω διὰ τὴν ἄστατον τῆς προαιρέσεως ῥοπήν, γίνεται δὲ κατὰ σχέσιν ἑκάτερον τῶν ἄκρων, 〈ὧν κατ’ οὐσίαν οὐδέτερόν ἐστι〉 · δηλοῖ δὲ αὐτῆς τὸ μέσον καὶ ἡ ἀπὸ νοῦ τελειότης καὶ ἡ ἀπὸ τῆς αἰσθήσεως ἀπάτη. ——— ——— 〈ἀκούων Σωκράτη〉 λέγοντα μηδὲν εἰδέναι, τούς τε φάσκοντας πάντα εἰδέναι σκώπτοντα, καὶ ἔτι τὸ ἀληθὲς ἡμᾶς ἀπελθόντας ἐνθένδε μάλιστα γνώσεσθαι διατεινόμενον, καὶ αὐτὰς τὰς ἀκριβεστάτας ἐπιστήμας μὴ ἐπιστήμας οὔσας διελέγχοντα— 〈ἀπορεῖν〉 . [5]

48 .. οὐδ’ ὅλως ἐστὶ γνῶναι τἀληθές, ἀλλὰ μόνον ὀνειρώττειν περὶ αὐτό. ——— 〈Ἀλλ’ ἵνα μηδὲν τοιοῦτο πάσχωμεν〉 , προδιείλομεν τὰς γνώσεις ἁπάσας, ὧν τε ἐνταῦθα ψυχὴ καὶ ὧν τὴν ἀκροτάτην λαχοῦσα τάξιν δύναται μετέχειν, ὧν 〈ὁ Σωκράτησ〉 τὰς μὲν ἔχων, τὰς δὲ ἕξειν ἀπολυθεὶς τοῦ σώματος ἐλπίζων ἐκεῖσε ἐλευσόμενος τἀληθὲς δεδήλωκεν εἴσεσθαι· μέτρα γὰρ ἄλλα καὶ ἄλλα ὄντα τῆς γνώσεως——— τὴν ψυχὴν τὸν παχὺν τοῦτον περιφέρουσαν δεσμόν ——— 〈ὡσ〉 τὸν ἐν Θεαιτήτῳ κορυφαῖον τὸν οὐρανοῦ τε ὕπερ ἀστρονομοῦντα καὶ πᾶσαν τὴν τῶν ὄντων φύσιν πάντῃ διερευνώμενον [Pl. [10]

49 Theaet. 173e/174a] καὶ 〈τοὺς ἐν Πολιτείᾳ φύλακασ〉 μέχρι τοῦ ἀγαθοῦ διὰ τῆς διαλεκτικῆς ἀναβαίνοντας, 〈ἣν〉 θριγκὸν τοῖς μαθήμασιν 〈ἐπέστησεν〉 . τελέως 〈δ’ αὖ〉 γενέσθαι θεωρητικὴν οὐκ ἔστι δυνατὸν διὰ ... τὰς ἀσχολίας καὶ τὰς ἐνοχλήσεις τοῦ σώματος, οὐκ ἐώσας ἀνεμπόδιστον ἡμῶν καὶ ἀπερίσπαστον γίνεσθαι τὴν ἐνέργειαν ἐκείνην. ——— ——— ὅθεν, οἶμαι, καὶ τοῖς μαθήμασι . [7]

50 .. δευτέραν ἀποδίδωσι μοῖραν, τοῖς δὲ ἀΰλοις πάντῃ καὶ χωριστοῖς εἴδεσιν τὴν πρὸ τούτων, καὶ ... τοῖς μὲν τὴν ἐξ ὑποθέσεως, τοῖς δὲ τὴν ἀνυπόθετον [Pl. resp. VI 510 b] γνῶσιν. 〈ταύτην δὲ〉 ——— σύνδεσμον κέκληκεν τῶν μαθημάτων, ὡς τὰς ἐκείνων ἁπάντων ἀρχὰς ἑνίζουσαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ εἰς τὴν μίαν τῶν ὅλων ἀρχὴν ἀναπέμπουσαν. ——— 〈σκόπει τὸ βάθος τοῦ τε θεοῦ καὶ Σωκράτους, πῶς δὴ〉 οὐ τὸ μηδὲν εἰδέναι 〈μόνον εἴρηκεν〉 ἐξαίρετον ὑπάρχειν ἀγαθόν, ἀλλὰ τὸν μὴ εἰδότα καὶ τοῦτο εἰδέναι ὅτι οὐκ οἶδε.

51 τοῦτο γὰρ δοκεῖ μὲν εἶναι προὔργου τοῖς ἐσομένοις σοφοῖς, κατ' ἀλήθειαν δὲ εἰς ταὐτὸ περιχωρεῖ τῇ σοφίᾳ· καὶ σοφὸς ὄντως ἐστὶν ὁ γνοὺς ἑαυτὸν οὐκ εἰδότα καὶ μὴ ἀγνοῶν ὅτι οὐκ οἶδε. τίνος γάρ ἐστιν ἄλλου γνῶναι τὸν οὐκ εἰδότα ἢ τοῦ καὶ τὸν εἰδότα γινώσκοντος; δεῖ γὰρ δὴ καὶ αὐτὸ γνῶναι τελέως ὃ οὐκ οἶδεν, εἴπερ εἰδότα ἑαυτὸν μέλλει ἐπιγνῶναι· τοῦτο γὰρ ἀγνοῶν οὐδ' εἰ οἶδε γνοίη ἄν. ὥστε οὐδεὶς ἂν πρότερον ἑαυτὸν μὴ εἰδότα γνοίη τελέως, πρὶν ἂν εἰδότα γνοίη. τότε γὰρ ἅμα καὶ ὃ οἶδε καὶ ὃ οὐκ οἶδεν ἐπιστήσεται, καὶ ὅτι οἶδε γνώσεται καὶ ὅτι οὐκ οἶδε, μέσην ἔχων εἴδησιν τῶν τε μόνως εἰδότων καὶ τῶν μὴ ὅλως, ὧν τὸ μέν ἐστι νοῦς, τὸ δὲ αἴσθησις· ἡ μὲν οὐδ' ὅλως εἰδυῖα τὴν ἀλήθειαν, ὅτι μηδὲ αὐτὴν τῶν αἰσθητῶν ὧν ἐστι γνῶσις τὴν οὐσίαν οἶδεν· ὁ δὲ αὐτὴν τὴν οὐσίαν τοῦ ὄντος ἀμέσως εἰδὼς καὶ αὐτὴν τὴν ὄντως οὖσαν ἀλήθειαν. μέση δὲ οὖσα τούτων ἡ ψυχὴ καὶ οἶδε τὰς οὐσίας τῶν ὄντων ... καὶ οὐκ οἶδε .... Σοφός τις ἄρα γενόμενος γνώσεται καὶ ὡς οἶδεν εἰδὼς καὶ ὡς οὐκ οἶδεν εἰδώς.

52 ———οὔτ' ἄρα διὰ τὰς μαθηματικὰς ἐπιστήμας ὡς τῆς πρώτης ἐπιστήμης διορισθείσας, οὔτε διὰ τὴν ἐλπίδα τῆς ὡς ἀληθῶς γνώσεως μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν, ———, ἀφανίζειν χρὴ τοὺς περὶ τὴν ἐπιστήμην λόγους. 〈Πλάτων γάρ ἐστιν αὐτὸς ὁ βοῶν〉 ὅτι τὸν τὴν ἐπιστήμην ἀνελόντα περὶ οὐδενός, οὐδὲ τοῦ τυχόντος, ἔτι δυσχυρίσασθαι δυνατόν. ἀλλὰ τινὰ μὲν ἐπιστήμην λάβοι ἂν ἡ ψυχὴ καὶ μετὰ σώματος οὖσα, τινὰ δὲ ἀπαλλαγεῖσα τοῦ δεσμοῦ· καὶ τινὰς μὲν γνώσεις ἐπιστήμας ἅμα καὶ οὐκ ἐπιστήμας εἶναι θήσεται· μίαν δὲ τὴν ὡς ἀληθῶς ἐπιστήμην, καὶ νοῦν ἐπιστήμης κρείττονα, καὶ νοῦ τὴν ἔνθεον νόησιν· καὶ ταύτην εἶναι τὴν γνῶσιν, ἣν ἡ ψυχὴ φανταζομένη καὶ ἐν τῷ τῇδε βίῳ λαβεῖν οὐ δυναμένη ποθεῖ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον, ὡς ἐκεῖ τευξομένη τῆς ὑπερφυοῦς ταύτης καὶ θεοειδοῦς τῶν ὄντων καταλήψεως. 〈Ἀλλ'〉 οἱ μὲν ψεῦδος εἶναι ἔφασαν τὸν θεὸν ὡρισμένως εἰδέναι πᾶν, ἀλλ' ἀοριστaίνειν καὶ αὐτὸν ἐν τοῖς ἀορίστως γινομένοις, ἵνα φυλάξωσι τὸ ἐνδεχόμενον· οἱ δὲ τὴν ὡρισμένην γνῶσιν ἀποδόντες τῷ θεῷ τὴν ἀνάγκην ἐπὶ πάντων τῶν γινομένων παρεδέξαντο.

63 ——— 〈Πλάτων δὲ ...〉 τὸν θεὸν ὡρισμένως εἰδέναι τὰ ἐσόμενα, ταῦτα δὲ κατὰ τὴν ἑαυτῶν γίνεσθαι φύσιν 〈διισχυρίζεται〉 , τὰ μὲν ὡρισμένως, τὰ δὲ ἀορίστως· τῶν γὰρ ἐν τοῖς ἀποτελουμένοις διῃρημένως καὶ ὑπεναντίως ἀλλήλοις ὄντων, ἐν τοῖς θεοῖς κατὰ τὸ κρεῖττον μόνον ἐστὶν ἡ πρόληψις, 〈λέγω δ' οἷον〉 τῶν γινομένων ἢ ἀσωμάτων ὄντων ἢ σωμάτων, ἀσωμάτως ἐστὶν ἀμφοῖν τὰ αἴτια παρ' ἐκείνοις, ὡσαύτως δὲ καὶ ἡ γνῶσις ἀσωμάτως· καὶ πάλιν νοούντων καὶ ἀνοήτων ὄντων ἄμφω παρὰ θεοῖς γνωστικῶς καὶ κατὰ τὴν ὕπαρξιν καὶ κατὰ τὴν εἴδησιν· γινώσκουσιν γὰρ καὶ τὰ μὴ γνωστικὰ γνωστικῶς. κἀκεῖθεν αὖ τῶν γινομένων ἐν χρόνῳ ἢ ἀχρόνως, ἄχρονος ἥ τε αἰτία καὶ ἡ γνῶσις ἵδρυται παρ' αὐτοῖς. ὥστε, ἐπειδὴ καὶ ὡρισμένα καὶ ἀόριστα ἄττα γίνεται, ἀμφοῖν κατὰ τὸ κρεῖττον, τὸ ὡρισμένον λέγω, τὴν τούτων προειλήφασι γνῶσιν. 〈Ἔτι δέ〉 , οὐχ οἷον ἐστὶ τὸ γνωστόν, τοιοῦτον καὶ τὸ εἶδος τῆς γνώσεως, ἀλλ' οἷον τὸ γινῶσκον εἰκότως· 〈οὐδὲ γὰρ ἡ γνῶσισ〉 ἐν τῷ γνωστῷ ἐστιν, ἀλλ' ἐν τῷ γινώσκοντι· διὸ καὶ τῷ ἐν ᾧ ἐστιν ὁμόχρους ἐστὶ καὶ ὁμοειδής, ἀλλ' οὐ τῷ ἐν ᾧ οὐκ ἔστι.

64 τοῦ οὖν γνωστοῦ ὄντος ἀορίστου, τοῦ δὲ γινώσκοντος ὡρισμένου, οὐ διὰ τὸ γνωστὸν ἀοριστaίνει καὶ ἡ γνῶσις, ἀλλὰ διὰ τὸ γινῶσκον ὁρίζεται· καὶ γὰρ κρειττόνως τὸ χεῖρον γινώσκειν ἐστὶ καὶ χειρόνως τὸ κρεῖττον. 〈ὥστε〉 ἐπεὶ πάντων κρείττονες οἱ θεοί, κρειττόνως ᾗπερ εἰσὶ τὰ πάντα προειλήφασιν, ἀχρόνως μὲν τὰ κατὰ χρόνον, 〈ὡς εἴπομεν〉 , ἀσωμάτως δὲ τὰ σώματα, ἀΰλως καὶ τὰ ἔνυλα, ὡρισμένως τὰ ἀόριστα, ἑστώτως τὰ ἄστατα, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγεννήτως τὰ γεννητά. Οὐ καθὸ οὖν γινώσκουσιν τὸ ἐσόμενον, ἐξ ἀνάγκης ἐπάγεται τούτῳ ἡ ἔκβασις, ἀλλὰ τῷ μὲν ἀορίστην ἐκ τοῦ ὡρισμένου τὴν γένεσιν . [10]

65 .., τοῖς δὲ θεοῖς ὡρισμένην τοῦ ἀορίστου τὴν πρόγνωσιν. οὐδὲ γὰρ τὸ παράπηγμά 〈σου〉 , τυμπάνοις καὶ τόρνοις χρώμενον καὶ ὕλαις σωματικαῖς, ἐν τῇ σου προγνώσει σωματικῶς ἦν· ἀλλ' ἐκεῖ μὲν ἀσωμάτως ἡ φαντασία καὶ ζωτικῶς εἶχε τοῦ ἐσομένου τὸν λόγον, ἐγένετο δὲ τὸ παράπηγμα σωματικῶς συμπεπηγὸς ἐκ μὴ τοιαύτης τῆς ἔνδον γνώσεως. εἰ δὲ ἐπὶ τῆς σου ποιήσεως ταῦτα, τί ἂν εἴποις περὶ τῆς τῶν θεῶν προγνώσεως, παρ' ᾗ τὸ ἄρρητον προϋπάρχει καὶ ὄντως ἀπεριήγητον ἡμῖν καὶ ἀπερίγραφον, οὐχ ὡς ἄλλος ὁ τρόπος τῆς πάντων περιοχῆς καὶ οὐδαμοῦ συγγενὴς τοῖς ἀπ' αὐτῆς γινομένοις; ὥστε καὶ γινώσκουσιν οἱ θεοὶ θείως καὶ ἀχρόνως τὰ ἐφ' ἡμῖν, καὶ ἡμεῖς ἐνεργοῦμεν ὡς πεφύκαμεν· καὶ ὅπερ ἂν ἑλώμεθα προέγνωσται παρ' αὐτοῖς οὐ διὰ τὸν ἐν ἡμῖν ὅρον, ἀλλὰ διὰ τὸν παρ' αὐτοῖς. ——— 〈δυνάμενον〉 καὶ καθ' αὑτὸ δεικνύναι ὅτι ἐστὶ τὸ ἐφ' ἡμῖν, ἀπὸ τῶν ἐπαίνων ἢ ψόγων, ἀπὸ τῶν συμβουλῶν καὶ τρόπων ἢ ἀποτροπῶν, ἀπὸ τῶν δικαστηρίων καὶ κατηγοριῶν ἢ ἀπολογιῶν, ἀπὸ τῆς πολιτικῆς ἁπάσης παιδείας, ἀπὸ τῶν νομοθεσιῶν, ἀπὸ τῶν εὐχῶν καὶ τῶν ἱερατικῶν ὁδῶν, 〈ἀπ' αὐτῆς τῆς φιλοσοφίας. [5]

66 εὖ γὰρ οἶσθα καὶ τὸν ἐμὸν καθηγεμόνα λέγοντα πολλάκις ὅτι〉 τὸ ἐφ' ἡμῖν ἀναιρεθὲν περιττὴν ἀποφαίνει τὴν φιλοσοφίαν· τί γὰρ παιδεύσει, μηδενὸς ὄντος τοῦ παιδευομένου; πῶς δὲ ἔσται τὸ παιδευόμενον, μὴ ὄντος ἐφ' ἡμῖν τοῦ γενέσθαι καλλίοσι; ———περὶ ὧν οὖν ... ποιήσασθαι τοὺς λόγους 〈ἢ〉 περὶ ὧν οὐδεὶς ἂν ἡμῖν ἐγκαλέσοι ἀδολεσχίαν ποιουμένοις τὰς διαλέξεις; ——— [12]

Eulogikon public reading copy · View original HTML at eulogikon.org